σπάζουσα τοῦ Θεῷ ἡ κλίσις, καὶ δόξης ἰσοθέου ἐπιθυμοῦσα, τὸ δοθὲν αὐτῇ φῶς καὶ τὴν δόξαν ἀπολέσῃ· (Μέτρα γὰρ φέρειν ἄριστον, ἡ δὲ ἀμετρία κακόν)· διὰ τοῦτο τοῖς μετέπειτα φίλα φρονῶν ὁ τοῦ Θεοῦ μέγας Λόγος, τῆς μὲν Τριάδος πόρρω ἔστησεν, ὅσον ὑπάρχει, φῶς περὶ τὸν θρόνον ἱστάμενον τοῦ θεοῦ, τῆς δὲ τῶν Ἀγγέλων φύσεως πόρρω πεποίηκε τὴν τῶν ἀνθρώπων. Καὶ τὴν μὲν Ἀγγελικὴν οὐ πάνυ πολὺ πόρρω, τὴν δὲ ἀνθρωπικὴν πάνυ πολὺ πόρρω· διότι ἀπὸ γῆς ἐρχόμεθα μιγείσης Θεότητι. Ἡ ἁπλῆ δὲ φύσις καλλίων πολύ.

## KEIMENON.

Κόσμων δ' ὃς μὲν ἔην πρεσβύτερος, οὐρανὸς ἄλλος,
Θεοφόρων χώρημα, μόνοις τε νόεσσι θεητὸν,
Παμφαές· εἰς ὃν ἔπειτα θεοῦ βροτὸς ἔνθεν ὁδεύει,
Εὖτε θεὸς τελέθησι, νόον καὶ σάρκα καθήρας.
Αὐτὰρ ὅγε θνητοῖσι πάγη θνατὸς, ἡνίκ' ἔμελλε
Στήσεσθαι, φαέων τε χάρις, κῆρυξ τε θεοῖο,
Κάλλεΐ τε μεγέθει τε, καὶ εἰκόνος ἐμβασίλευμα.
Πρῶτος δ' ὑστάτιός τε Θεοῦ Μεγάλοιο λόγοισιν
Ἐκ μὴ φαινομένων κρατεροῖσιν ὁ κόσμος ἐτύχθη.

### ἙΡΜΗΝΕΙΑ.

Τῶν δύο δὲ κόσμων ὁ μὲν πρεσβύτερος ἦν, ὥσπερ ἄλλος οὐρανὸς, χώρημα καὶ τόπος τῶν Θεοφόρων Ἀγγέλων, μόνως τοῖς Ἀγγέλοις ὁρατὸς, ὡς παμφαὴς αὐτῶν οἰκητήριον εἰς ὃν ὕστερον ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐντεῦθεν ὁδεύει, ὅταν γένηται θεὸς, καθάρας τὴν σάρκα καὶ τὴν ψυχήν. Ὁ δὲ ἄλλος κόσμος τοῖς θνητοῖς ὑπέστη φθαρτὸς, ὅτι ὁ ΘΕΟΣ ἔμελλε παράγεσθαι τὴν ἀρχὴν, εἰς τέρψιν τε καὶ χάριν τῶν ὀφθαλμῶν, καὶ ὥστε εἶναι κήρυκα τῆς δόξης τοῦ Θεοῦ διὰ τοῦ κάλλους καὶ τοῦ μεγέθους αὐτοῦ, καὶ ἵνα ᾖ ἀνάκτορον οἰκητήριον, ἐμβασίλευμα τῆς τοῦ θεοῦ εἰκόνος. Πλὴν καὶ ὁ πρῶτος καὶ ὁ δεύτερος κόσμος τοῖς λόγοις ὑπέστησαν τοῦ μεγάλου θεοῦ.

M. Θ. Δ.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn324896379/11
gefördert von der Deutschen Forschungsgemeinschaft